ἡμέρᾳ ἔπηξεν αὐτήν· [27]καὶ ἐποίησεν τὸν λουτῆρα, ἵνα νίπτωνται 27
ἐξ αὐτοῦ Μωυσῆς καὶ Ααρων καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν
καὶ τοὺς πόδας· εἰσπορευομένων αὐτῶν εἰς τὴν σκηνὴν τοῦ μαρ-
τυρίου ἢ ὅταν προσπορεύωνται πρὸς τὸ θυσιαστήριον λειτουργεῖν,
ἐνίπτοντο ἐξ αὐτοῦ, καθάπερ συνέταξεν κύριος τῷ Μωυσῇ.
[1]Πᾶν τὸ χρυσίον, ὃ κατειργάσθη εἰς τὰ ἔργα κατὰ πᾶσαν τὴν 39
ἐργασίαν τῶν ἁγίων, ἐγένετο χρυσίου τοῦ τῆς ἀπαρχῆς ἐννέα καὶ
εἴκοσι τάλαντα καὶ ἑπτακόσιοι εἴκοσι σίκλοι κατὰ τὸν σίκλον τὸν
ἅγιον· [2]καὶ ἀργυρίου ἀφαίρεμα παρὰ τῶν ἐπεσκεμμένων ἀνδρῶν 2
τῆς συναγωγῆς ἑκατὸν τάλαντα καὶ χίλιοι ἑπτακόσιοι ἑβδομήκοντα
πέντε σίκλοι, [3]δραχμὴ μία τῇ κεφαλῇ τὸ ἥμισυ τοῦ σίκλου κατὰ 3
τὸν σίκλον τὸν ἅγιον, πᾶς ὁ παραπορευόμενος τὴν ἐπίσκεψιν ἀπὸ
εἰκοσαετοῦς καὶ ἐπάνω εἰς τὰς ἑξήκοντα μυριάδας καὶ τρισχίλιοι
πεντακόσιοι καὶ πεντήκοντα. [4]καὶ ἐγενήθη τὰ ἑκατὸν τάλαντα τοῦ 4
ἀργυρίου εἰς τὴν χώνευσιν τῶν ἑκατὸν κεφαλίδων τῆς σκηνῆς καὶ
εἰς τὰς κεφαλίδας τοῦ καταπετάσματος, ἑκατὸν κεφαλίδες εἰς τὰ
ἑκατὸν τάλαντα, τάλαντον τῇ κεφαλίδι. [5]καὶ τοὺς χιλίους ἑπτακο- 5
σίους ἑβδομήκοντα πέντε σίκλους ἐποίησαν εἰς τὰς ἀγκύλας τοῖς
στύλοις, καὶ κατεχρύσωσεν τὰς κεφαλίδας αὐτῶν καὶ κατεκόσμη-
σεν αὐτούς. [6]καὶ ὁ χαλκὸς τοῦ ἀφαιρέματος ἑβδομήκοντα τάλαντα 6
καὶ χίλιοι πεντακόσιοι σίκλοι. [7]καὶ ἐποίησεν ἐξ αὐτοῦ τὰς βάσεις 7
τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου [8]καὶ τὰς βάσεις τῆς αὐλῆς 8
κύκλῳ καὶ τὰς βάσεις τῆς πύλης τῆς αὐλῆς καὶ τοὺς πασσάλους
τῆς σκηνῆς καὶ τοὺς πασσάλους τῆς αὐλῆς κύκλῳ [9]καὶ τὸ παρά- 9
θεμα τὸ χαλκοῦν τοῦ θυσιαστηρίου καὶ πάντα τὰ σκεύη τοῦ θυ-
σιαστηρίου καὶ πάντα τὰ ἐργαλεῖα τῆς σκηνῆς τοῦ μαρτυρίου.
[10]καὶ ἐποίησαν οἱ υἱοὶ Ισραηλ καθὰ συνέταξεν κύριος τῷ Μωυσῇ, 10
οὕτως ἐποίησαν.
[11]Τὸ δὲ λοιπὸν χρυσίον τοῦ ἀφαιρέματος ἐποίησαν σκεύη εἰς 11
τὸ λειτουργεῖν ἐν αὐτοῖς ἔναντι κυρίου. [12]καὶ τὴν καταλειφθεῖσαν 12
ὑάκινθον καὶ πορφύραν καὶ τὸ κόκκινον ἐποίησαν στολὰς λειτουρ-
γικὰς Ααρων ὥστε λειτουργεῖν ἐν αὐταῖς ἐν τῷ ἁγίῳ.

27 (cf. 𝔐 40 30—32) αυτων / και τους ποδας] tr. A
39 1—6 = 𝔐 38 24—29 || 1 ο > B*† | χρυσιου] pr. εκ A | εικοσι ult.] και τριακοντα A || 2 επτακοσ. et εβδομηκ.] pr. και A: item in 5 || 3 το] pr. και A† | τρισχιλιοι πεντακοσιοι] -λιους και -σιους A || 4 εκατον 2$^{0}$ > A | κεφαλιδας] pr. εκατον B† | ταλαντον] + εν A† || 5 τοις στυλοις] των -λων A || 6 εβδομηκ.] pr. τετρακοσιοι A | χιλιοι πεντακ.] δισχιλιοι και τετρακοσιοι A || 7 (𝔐 38 $30^{1}$) εποιησαν A | αυτων B*† || 8 (𝔐 38 31) αυλης 1$^{0}$ M] πυλης B†, σκηνης A | αυλης ult.] σκηνης B*(uid.)† || 9 (𝔐 38 $30^{2}$) του 1$^{0}$] pr. κυκλω A | θυσιαστ. 1$^{0}$ ⌒ 2$^{0}$ B* || 10 = 𝔐 39 $32^{2}$ || 12 (𝔐 39 1) κοκκινον] + και βυσσον A†